TEZAUR LITURGIC

**4 FEBRUARIE**

**HARALAMBOS BOUSIA**

# PARACLISUL SF.CUVIOS ISIDOR DE LA PELUSIUM

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 04 ΦΕΒΡΟΥΑΡΙΟΣ
# ΙΣΙΔΩΡΟΣ ΠΗΛΟΥΣΙΩΤΗΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῷ κατασβέσαντι σαρκίου τὴν φλόγα, ἱδρώτων χεύμασι καὶ ῥείθροις δακρύων, καὶ παρεστῶτι βήματι τανῦν τοῦ Χριστοῦ, ἅπαντες προσπέσωμεν, ἐκβοῶντες· μὴ παύσῃ, Ὅσιε Ἰσίδωρε, Πηλουσίου κοσμῆτορ, Αὐτῷ πρεσβεύειν πέμψαι δαψιλῶς, ἡμῖν τὸ μέγα, καὶ πλούσιον ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἰσιδώρῳ προσπίπτω, τῷ Πηλουσίῳ, κλέει. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἰσίδωρε κλέϊσμα μοναστῶν, μὴ παύσῃ πρεσβεύειν, τῷ Κυρίῳ ὑπὲρ ἡμῶν, τῶν πίστει τιμώντων τὴν σὴν μνήμην, ἐνσαρκωτὰ δωρημάτων τοῦ Πνεύματος.

Σοφώτατε Ὅσιε ὡς λαμπτήρ, ἐκ γῆς τῆς Νειλώας ἀνετέταλκας εὐκρινῶς, φωτίζων σκοτόμαιναν καρδίας, τῶν σὲ ὑμνούντων αὐγαῖς θείας χάριτος.

Ἰδεῖν τὸν Δεσπότην καὶ Λυτρωτήν, ἐν πόλει τῇ ἄνω, καταξίωσον ἀσκητά, Ἰσίδωρε πάντας ὡς πολίτης, τῆς οὐρανίου πατρίδος θειότατος.

Διδάσκων ἀζύγους καὶ νουθετῶν, σοῖς λόγοις πατέρων, ἀναδείχθης ὑπογραμμός, Ἰσίδωρε· ὅθεν δυσωπῶ σε, ποιεῖν Χριστοῦ δίδαξόν με τὸ θέλημα.

*Θεοτοκίον.*

Ὠδὰς ἐξυφαίνοντες μυστικάς, ὑμνοῦμέν Σε Μῆτερ, ἀσιγήτως ὡς τοῦ Θεοῦ, λαμπρὸν οἰκητήριον καὶ κόσμου, τοῦ μεγαλύνοντός Σε παραμύθιον.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ῥυπαρότητα τάχος ταῖς σαῖς ῥοαῖς ἔκπλυνον, λογισμῶν μου Πηλουσιῶτα θεῖε Ἰσίδωρε, ὁ τὴν ψυχὴν ἱεροῖς, ῥύπου καθάρας καμάτοις, προσευχαῖς καὶ ῥεύμασι, θείοις ἱδρώτων σου.

Ὡραιώθης τῷ κάλλει τῶν σῶν γραφῶν Ὅσιε, κάλαμε τοῦ Πνεύματος θεῖε, μάκαρ Ἰσίδωρε· διό σε νῦν δυσωπῶ, πρὸς τὴν σωτήριον γνῶσιν, ἴθυνόν με ὅπως σε στέφω τοῖς ᾄσμασι.

Πολυτίμητον ὄντως πιστῷ λαῷ ἔλιπες, τοὺς ἐμψύχους λόγους σου Πάτερ σῶφρον Ἰσίδωρε, κληροδοσίαν τῷ νῦν, σὲ μεγαλύνοντι θείαις, σαῖς εὐχαῖς προστρέχοντι, βίου ἐν θλίψεσι.

*Θεοτοκίον.*

Ῥῦσαι πάντας ἐκ βλάβης τοῦ πονηροῦ Δέσποινα, τοῦ εἰς ἁμαρτίας ποντίσαι βόθυνον θέλοντος, τοὺς

Σοὺς οἰκέτας ἁγνή, ἵνα ὡς ῥῦστιν τιμῶσι Σέ, καὶ μεγαλύνουσι, τόκον τὸν θεῖόν Σου.

Κατεύθυνον, πρὸς ἀπαθείας λιμένας πνευματοφόρε, τοὺς τιμῶντας πανευλαβῶς σὲ μάκαρ Ἰσίδωρε, ἀῤῥήτου σοφίας ὡς θεῖον σκεῦος.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἡ χάρις τοῦ Πνεύματος, κινήσασα τὴν χεῖρά σου, πρὸς θείας γραφὰς ἀνέδειξε Ἰσίδωρε, σὲ Πατέρων ἔκτυπον, Πηλουσίον ἔμπνουν θησαύρισμα· διὸ βοῶ σοι· δίδαξον κἀμὲ ὁδὸν τὴν σωτήριον πορεύεσθαι.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὀκνηρίας ἐκδίωξον, ἀφ’ ἡμῶν ζοφώδη ἀχλὺν Ἰσίδωρε, ὁ ἀόκνως ἐργαζόμενος, τοῦ Χριστοῦ τὸν λόγον τὸν σωτήριον.

Στερεώματι πίστεως, σὲ ὡς φωτοφόρον Χριστὸς ἐνέθετο, σέλας Ὅσιε Ἰσίδωρε, τὰς ψυχὰς ἡμῶν φωτίζον λόγοις σου.

Πηλουσίου ὡράϊσμα, ὄρους καὶ Αἰγύπτου βλαστὲ θεόφυτε, μετανοίας τρίβον δεῖξόν μοι, τὴν πρὸς οὐρανίους θόλους ἄγουσαν.

*Θεοτοκίον.*

Ἰαμάτων ἐπίσταξαι, ὄμβρους Θεομῆτορ ἐπὶ τοὺς δούλους Σου, τοὺς πυρέσσοντας ἑκάστοτε, καὶ ἐκδεχομένους τὴν Σὴν εὔνοιαν.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Πλοῦτον τὸν φθαρτόν, Πάτερ Ὅσιε ἀπέλιπες, καὶ πτωχείαν ἐπεπόθησας Χριστοῦ, ἧς τὸν πόθον καὶ ἡμῖν θεόφρον ἄναψον.

Τεῖχος ἀρετῶν, ἀῤῥαγέστατον Ἰσίδωρε, περιτείχισον τοὺς σπεύδοντας εἰς σέ, τῇ δυνάμει τῆς ἐνθέρμου προστασίας σου.

Ὡς τῶν μοναστῶν, καλλονὴν ἐγκωμιάζων σε, δυσωπῶ σε τῆς σαρκός μου σαῖς λιταῖς, καταπάτησον χαμαίζηλον τὸ φρόνημα.

*Θεοτοκίον.*

Τόμον τῆς Χριστοῦ, εὐσπλαγχνίας Σε χρυσόδετον, καὶ ἀρχεῖον θεοσδότων ἀρετῶν, Σὲ κατέγνωμεν Μητρόθεε πανύμνητε.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ὡς ἄμπελον, ἀρετῶν κυπρίζουσα, καὶ ἐρήμου εὐθαλέστατα φοῖνιξ, καρποὺς ἐξήνθησας θείων σου λόγων, ὑπὲρ τὸ μέλι ἡδίστους Ἰσίδωρε, βροτοῖς προσάγοντας ταχύ, γλυκασμὸν τοῖς προστάτην σε ἔχουσι.

Πυρίμορφον, ἀληθῶς ὡς ἄνθρακα, ἡ τοῦ Πνεύματος ἀνέδειξε χάρις, σὲ τὸν πιμπρῶντα Ἰσίδωρε ὄφιν,

δεινὸν καὶ φλέγοντα πάθη δυσίατα· ὅθεν κραυγάζω σοι κἀμοῦ· ἁμαρτίας κατάφλεξον φρύγανα.

Ἠρίστευσας, ἐν ἀγώνων σκάμμασι, καὶ τὸν δόλιον ἐπάλαισας τάχος, ἐχθρὸν συντόνοις Ἰσίδωρε πόνοις· διὸ κἀμὲ δυσωπῶ σε κραταίωσον, καταπατῆσαι μηχανάς, τοῦ δεινῶς πολεμοῦντός με δαίμονος.

*Θεοτοκίον.*

Λιμένα Σε, οἱ πιστοὶ ἀχείμαστον, ἐν δεινοῖς οἱ θαλαττεύοντες βίου, Θεοκυῆτορ κατέγνωμεν πάντες, ἀναβοῶντες· ἀνθρώπων διάσωσμα, ἐκ τρικυμίς συμφορῶν, τὸν οἰκέτην Σου σῷον ἀνάγαγε.

Κατεύθυνον, πρὸς ἀπαθείας λιμένας πνευματοφόρε, τοὺς τιμῶντας πανευλαβῶς σὲ μάκαρ Ἰσίδωρε, ἀῤῥήτου σοφίας ὡς θεῖον σκεῦος.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Προστατεύειν τῶν εἰλικρινῶς προσιόντων σοι, καὶ τῶν σῶν οἰκετῶν θεραπεύειν νοσήματα, μὴ ἐλλίπῃς ὡς ἰατὴρ Ἰσίδωρε, ταχὺς καὶ πρεσβευτὴς πρὸς τὸν Θεὸν ταχινός, ἵνα κράζομεν· πρόφθασον, Πηλουσίου σεμνότης, καὶ ῥῦσαι βλάβης τοῦ παμβεβήλου τοὺς πιστῶς, εὐφημοῦντάς σε σοφώτατε.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α᾽ Ἀντίφωνον τοῦ δ᾽ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ*

Στ.: *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

*Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. στ΄, 17-21)*

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος πολὺς μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτός, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγεν· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσιν, καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχ. πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Κόπασον τὸν τάραχον, τοῦ χοϊκοῦ μου σαρκίου, καὶ τὸν σάλον πράϋνον, τῆς ψυχῆς Ἰσίδωρε πανσεβάσμιε, ἀσκητῶν πρόβολε, καὶ Πατέρων δόξα, Πηλουσίου ὄρους καύχημα, καὶ θείου Πνεύματος πάγχρυσε γραφίς, ἵνα σπεύδων σοι ἐν βίου περιστάσεσι, καὶ δεινοῖς εὑρίσκω ἀντίληψιν, ὕμνοις δὲ σὴν μνήμην, τὴν θείαν καταστέφω ἱεροῖς, καὶ αἶνον πέμπω τῷ Κτίσαντι, σὲ τῷ κραταιώσαντι.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὄμβροις θείων σου λόγων καὶ χαρίτων κατάρδευσον ὁσιώτατε, Ἰσίδωρε ψυχήν μου, τὴν ἀπεξηραμμένην, τοῦ βλαστῆσαι σεμνότητος, καὶ μετανοίας καρπόν, πολὺν πνευματοφόρε.

Ὑφειμένους τῷ πλήθει τῶν πταισμάτων Ἰσίδωρε παμμακάριστε, καὶ τοὺς κατεστιγμένους, ἀμέτροις ἀνομίαις, τῆς πρεσβείαις σου ἴασαι, φαρμάκῳ τῷ μυστικῷ, ἐρήμου ὑφηγῆτορ.

Σωφροσύνης ἀκρότης ἐγκρατείας πυξίον καὶ γνώμων νήψεως, Ἰσίδωρε θεόφρον, ἀνάδειξον σοφίας, καὶ συνέσεως πρότυπα, τοὺς ἐκζητοῦντας θερμῶς, τὰς πρὸς Θεὸν λιτάς σου.

*Θεοτοκίον.*

Ἰατὴρ ἀσθενούντων καὶ ἀκέστωρ στενόντων ὑπάρχεις πάναγνε, Κυρία Θεοτόκε· διὸ θανατηφόρα, ἱκετεύω Σε ἴασαι, ψυχῆς μου πάθη ταχύ, τὰ κατατρύχοντά με.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ὁ πλούτῳ λόγων, τὴν Ἐκκλησίαν κοσμήσας, τῶν σοφῶν σου πλουτεῖν θεοφόρε, τοὺς σὲ ἀνυμνοῦντας, ἀξίωσον ἐν πόλῳ.

Ὑπὲρ τῶν πίστει, ἐπιτελούντων σὴν μνήμην, γόνε πάντιμε Ἀλεξανδρείας, καὶ φωστὴρ ἀζύγων, ἱλέωσαι τὸν Κτίστην.

Κερδῆσαι μόνον, Χριστὸν παμμάκαρ ποθήσας, τὰ τοῦ κόσμου ἡγήσω σκιώδη, ἃ καὶ σὸν ἱκέτην, ἀξίωσον μισῆσαι.

*Θεοτοκίον.*

Λῦσον δεσμούς μου, τῆς ἁμαρτίας Παρθένε, τοὺς οἰκτρῶς με δουλοῦντας ἐν βίῳ, καὶ πρὸς εὐνομίας, κατεύθυνόν με τρίβους.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκου.*

Εὑρὼν τῶν σῶν ἀτρύτων, ἐν τοῖς θείοις δόμοις, καμάτων Πάτερ Ἰσίδωρε ἔπαθλα, τῶν σὲ τιμώντων κατ᾽ ἄμφω ὑγείαν αἴτησαι.

Ἐξάλειψον τὰ πλήθη, τῶν ἀγνοημάτων, ταῖς σαῖς θερμαῖς πρὸς Θεὸν παρακλήσεσιν, ἡμῶν Ἰσίδωρε κάλαμε θεοκίνητε.

Ἰσίδωρε θεόφρον, βλάστημα Αἰγύπτου, καὶ συμπολῖτα τῶν ἄνω δυνάμεων, ὑπὲρ ἡμῶν ἐκδυσώπει, τὸν πολυεύσπλαγχνον.

*Θεοτοκίον.*

Χρυσάκτινε λυχνία, κεχαριτωμένη, τὸν ἐσβεσμένον μου λύχνον διάναψον, καὶ φῶς συνέσεως δεῖξον, κἀμὲ λαμπρότατον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τῆς Ἀλεξανδρείας κλεινὸς βλαστός, ἄνθος εὐσεβείας, καὶ συνέσεως μυριστόν, εὐωδία λόγων, τῶν σῶν πιστῶν ἡδύνεις, Ἰσίδωρε παμμάκαρ, σὲ τοὺς γεραίροντας.

Μολυσμοὺς ἐκπλύνας τοὺς τῆς σαρκός, χεύμασι δακρύων, καὶ τοῦ Πνεύματος καθαρόν, γεγονὼς δοχεῖον, κιρνᾷς πιστοὺς ἀφθόνως, τῆς σωτηρίας πόμα, σῶφρον Ἰσίδωρε.

Χαίροις μοναζόντων ἡ καλλονή· χαίροις ἱερέων, θεοσόφων ἡ κορυφή· χαίροις Πηλουσίου, τοῦ Ὄρους μυροθήκη, καὶ Ἐκκλησίας πάσης, κῦδος Ἰσίδωρε.

Δῶρον τῷ Κυρίῳ προσενεγκών, τῶν κατορθωμάτων, τὴν πλημμύραν σου ἀσκητά, εἴληφας ἐξ ὕψους, ἀντίδωρον παρέχειν, τὰς σωτηρίους δόσεις, πᾶσιν Ἰσίδωρε.

Χαίροις τῆς ἐρήμου φῶς τηλαυγές· χαίροις Πηλουσίου, ὄρους ἄνθος ἡδυτερπές· χαίροις ὁ ἀρδεύων, τοῖς ὀχετοῖς χαρίτων, καὶ ὄμβροις τῶν σῶν λόγων, πάντας Ἰσίδωρε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· *Κύριε ἐλέησον.* Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν

Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Γέρας, Ὀρθοδόξων τιμαλφές, Ἐκκλησίας ἄσειστον βάθρον, καὶ οὐρανόμηκες, πύργε θείας γνώσεως ἡμᾶς ἀνάψυξον, ἐν ἀνάγκαις τοὺς πέλοντας, δειναῖς ἀλγηδόσι, λοιμικοῖς νοσήμασι, καὶ δυσμενείᾳ ἐχθροῦ, ἵνα, γηθοσύνως τιμῶμεν, σὲ καὶ ἀναπέμπομεν δόξαν, σὲ τῷ κραταιώσαντι Ἰσίδωρε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

